**ΔΙΑΓΩΝΙΣΜΑ**
**ΑΡΧΑΙΑ ΕΛΛΗΝΙΚΑ ΠΡΟΣΑΝΑΤΟΛΙΣΜΟΥ**
**Γ' ΛΥΚΕΙΟΥ**
**28/02/2016**

# Κείμενο διδαγμένο από το πρωτότυπο

## Ἀριστοτέλους Ἠθικά Νικομάχεια Β1, 5-7, Β6, 10-13

Μαρτυρεῖ δὲ καὶ τὸ γινόμενον ἐν ταῖς πόλεσιν· οἱ γὰρ νομοθέται τοὺς πολίτας ἐθίζοντες ποιοῦσιν ἀγαθούς, καὶ τὸ μὲν βούλημα παντὸς νομοθέτου τοῦτ' ἐστίν, ὅσοι δὲ μὴ εὖ αὐτὸ ποιοῦσιν ἁμαρτάνουσιν, καὶ διαφέρει τούτῳ πολιτεία πολιτείας ἀγαθὴ φαύλης. Ἔτι ἐκ τῶν αὐτῶν καὶ διὰ τῶν αὐτῶν καὶ γίνεται πᾶσα ἀρετὴ καὶ φθείρεται, ὁμοίως δὲ καὶ τέχνη· ἐκ γὰρ τοῦ κιθαρίζειν καὶ οἱ ἀγαθοὶ καὶ κακοὶ γίνονται κιθαρισταί. Ἀνάλογον δὲ καὶ οἰκοδόμοι καὶ οἱ λοιποὶ πάντες·ἐκ μὲν γὰρ τοῦ εὖ οἰκοδομεῖν ἀγαθοὶ οἰκοδόμοι ἔσονται, ἐκ δὲ τοῦ κακῶς κακοί. Εἰ γὰρ μὴ οὕτως εἶχεν, οὐδὲν ἂν ἔδει τοῦ διδάξοντος, ἀλλὰ πάντες ἂν ἐγίνοντο ἀγαθοὶ ἢ κακοί.

Οἷον καὶ φοβηθῆναι καὶ θαρρῆσαι καὶ ἐπιθυμῆσαι καὶ ὀργισθῆναι καὶ ἐλεῆσαι καὶ ὅλως ἡσθῆναι καὶ λυπηθῆναι ἔστι καὶ μᾶλλον καὶ ἧττον, καὶ ἀμφότερα οὐκ εὖ· τὸ δ' ὅτε δεῖ καὶ ἐφ' οἷς καὶ πρὸς οὓς καὶ οὗ ἕνεκα καὶ ὡς δεῖ, μέσον τε καὶ ἄριστον, ὅπερ ἐστὶ τῆς ἀρετῆς. Ὁμοίως δὲ καὶ περὶ τὰς πράξεις ἔστιν ὑπερβολὴ καὶ ἔλλειψις καὶ τὸ μέσον. Ἡ δ' ἀρετὴ περὶ πάθη καὶ πράξεις ἐστίν, ἐν οἷς ἡ μὲν ὑπερβολὴ ἁμαρτάνεται καὶ ψέγεται καὶ ἡ ἔλλειψις, τὸ δὲ μέσον ἐπαινεῖται καὶ κατορθοῦται· ταῦτα δ' ἄμφω τῆς ἀρετῆς. Μεσότης τις ἄρα ἐστὶν ἡ ἀρετή, στοχαστική γε οὖσα τοῦ μέσου.

**<u>ΑΣΚΗΣΕΙΣ:</u>**

**Α.** Από το κείμενο που σας δίνεται να μεταφραστούν τα αποσπάσματα: «Ἔτι ἐκ τῶν αὐτῶν καὶ διὰ τῶν αὐτῶν… ἂν ἐγίνοντο ἀγαθοὶ ἢ κακοί» και «Οἷον καὶ φοβηθῆναι καὶ θαρρῆσαι… καὶ ἔλλειψις καὶ τὸ μέσον».

**Μονάδες 10**

**Β1.** «καὶ διαφέρει τούτῳ πολιτεία πολιτείας ἀγαθὴ φαύλης»: Να επισημάνετε το κριτήριο που χρησιμοποιεί ο Αριστοτέλης, όταν διακρίνει την **ἀγαθὴ πολιτεία από τη φαύλη.**

**Μονάδες 10**

**Β2. «μέσον τὲ καὶ ἄριστον, ὅπερ ἐστὶ τῆς ἀρετῆς»:** Να περιγράψετε τις έννοιες που αποδίδονται στην αρετή. Πώς σχετίζεται το μέσον και το ἄριστον με την αρετή;

**Μονάδες 10**

**Β3.** Με ποιον **συλλογισμό** καταλήγει ο Αριστοτέλης, σύμφωνα με τη δεύτερη παράγραφο, ότι η αρετή είναι ένα είδος μεσότητας; Να τον διατυπώσετε και να αναφερθείτε στον **κοινωνικό χαρακτήρα της αρετής**.

**Μονάδες 10**

**Β4.** Ποιες απόψεις εξέφρασε ο Αριστοτέλης για την πόλη της Αθήνας και τους Αθηναίους, σύμφωνα με την παράδοση, λίγο πριν εγκαταλείψει την Αθήνα;

**Μονάδες 10**

**Β5. *α.*** Να βρείτε στο παραπάνω κείμενο (1η παράγραφος) μία ετυμολογικά συγγενή λέξη για καθεμιά από τις παρακάτω λέξεις της νέας ελληνικής: **πρόθεση, φόρτος, σχηματισμός, διάλειμμα, λογική.**

**Μονάδες 5**

**β.** Να γράψετε μία ομόρριζη λέξη της νέας ελληνικής (απλή ή σύνθετη) για καθεμιά από τις παρακάτω λέξεις του κειμένου (2η παράγραφος): **ἐλεῆσαι, ἡσθῆναι, δεῖ, ὑπερβολὴ, ψέγεται.**

**Μονάδες 5**

## Γ. Αδίδακτο κείμενο

### Ἰσοκράτης, Περί τοῦ ζεύγους 12-15

Ἡγοῦμαι δ' <u>αὐτὸν</u> παρ' ὑμῶν δικαίως ἂν πλείστης συγγνώμης τυγχάνειν· <u>ὑπὸ</u> γὰρ <u>τῶν τριάκοντ'</u> ἐκπεσόντες[1] ταῖς αὐταῖς ἐκείνῳ συμφοραῖς ἐχρήσασθε[2]. Ἐξ ὧν ἐνθυμεῖσθαι χρή, πῶς ἕκαστος <u>ὑμῶν</u> διέκειτο καὶ τίνα γνώμην εἶχεν καὶ ποῖον κίνδυνον οὐκ ἂν ὑπέμεινεν ὥστε παύσασθαι μὲν <u>μετοικῶν</u>, κατελθεῖν δ' εἰς τὴν πατρίδα, τιμωρήσασθαι δὲ τοὺς ἐκβαλόντας[3]. Ἐπὶ τίνα δ' ἢ πόλιν ἢ φίλον ἢ ξένον οὐκ ἤλθετε δεησόμενοι <u>συγκαταγαγεῖν</u>[4] ὑμᾶς; Τίνος δ' ἀπέσχεσθε πειρώμενοι κατελθεῖν; Οὐ καταλαβόντες τὸν Πειραιᾶ καὶ τὸν σῖτον τὸν ἐν τῇ χώρᾳ διεφθείρετε καὶ τὴν γῆν ἐτέμνετε καὶ τὰ προάστεια ἐνεπρήσατε καὶ τελευτῶντες τοῖς τείχεσιν προσεβάλετε; Καὶ ταῦθ' οὕτω σφόδρ' ἐνομίζετε χρῆναι ποιεῖν, ὥστε τοῖς ἡσυχίαν ἄγουσι τῶν συμφυγάδων μᾶλλον ὠργίζεσθε ἢ τοῖς αἰτίοις τῶν συμφορῶν γεγενημένοις.

---

1. ἐκπίπτω = εξορίζομαι.
2. χρῶμαι συμφοραῖς = πέφτω σε συμφορές.
3. ἐκβάλλω = εξορίζω.
4. συγκατάγω = βοηθώ στην επαναφορά κάποιου από την εξορία.

**ΑΣΚΗΣΕΙΣ:**

**Γ1**. Να γράψετε τη μετάφραση του κειμένου.

**Μονάδες 20**

**Γ2.** Να γράψετε ό,τι ζητείται για καθεμιά από τις παρακάτω λέξεις του κειμένου:
**δικαίως:** τον υπερθετικό βαθμό.
**τίνα:** τη δοτική πληθυντικού στο ίδιο γένος.
**Πειραιᾶ:** τη γενική ενικού.
**τείχεσιν:** τη δοτική ενικού.
**συμφυγάδων:** τη γενική ενικού.
**ἐχρήσασθε:** το β′ ενικό παρατατικού.
**ἐκβαλόντας:** τη δοτική πληθυντικού στο ίδιο γένος και στον ίδιο χρόνο.
**ἀπέσχεσθε:** το β′ ενικό προστακτικής του ίδιου χρόνου.
**ἐνομίζετε:** το ίδιο πρόσωπο στην οριστική μέλλοντα στην ίδια φωνή.
**ὠργίζεσθε:** το γ′ πληθυντικό στην οριστική παρακειμένου στην ίδια φωνή.

**Μονάδες 10**

**Γ3. α.** Να χαρακτηρίσετε συντακτικά τους υπογραμμισμένους όρους του κειμένου: **αὐτὸν, ὑπὸ τῶν τριάκοντ′, ἐκείνῳ, ὑμῶν, μετοικῶν, συγκαταγαγεῖν.**

**Μονάδες 6**

**Γ3. β. «Ἐπὶ τίνα δ′ ἢ πόλιν ἢ φίλον ἢ ξένον οὐκ ἤλθετε δεησόμενοι συγκαταγαγεῖν ὑμᾶς»**; Η ευθεία ερώτηση να τραπεί σε πλάγια, αφού εξαρτηθεί από το ρήμα **ἠρώτησεν.**

**Μονάδες 4**

**ΕΠΙΜΕΛΕΙΑ:**
**ΔΙΑΜΑΝΤΗΣ ΓΙΩΡΓΟΣ**
**ΓΚΙΝΙΑΣ ΣΩΤΗΡΗΣ**
**ΚΑΡΑΓΙΑΝΝΗΣ ΓΡΗΓΟΡΗΣ**
**ΦΟΛΟΥΛΗ ΑΜΑΛΙΑ**

**ΚΑΛΗ ΕΠΙΤΥΧΙΑ**